B 10 Ὅσα μὲν οὖν Ῥωμαίων τῷ γένει ἐν τοῖς πολέμοις ἄχρι δεῦρο ξυνηνέχθη γενέσθαι, τῇδέ μοι δεδιήγηται, ᾗπερ δυνατὸν ἐγεγόνει τῶν πράξεων τὰς δηλώσεις ἁπάσας ἐπὶ καιρῶν τε καὶ χωρίων τῶν ἐπιτηδείων ἁρμοσαμένῳ· τὰ δὲ ἐνθένδε οὐκέτι μοι τρόπῳ τῷ εἰρημένῳ ξυγκείσεται, ἐπεὶ ἐνταῦθα γεγράψεται πάντα, ὁπόσα δὴ τετύχηκε γενέσθαι πανταχόθι τῆς Ῥωμαίων
2 ἀρχῆς. αἴτιον δέ, ὅτι δὴ οὐχ οἷόν τε ἦν περιόντων
P 2 ἔτι τῶν αὐτὰ εἰργασμένων ὅτῳ δεῖ ἀναγράφεσθαι τρόπῳ. οὔτε γὰρ διαλαθεῖν πλήθη κατασκόπων οἷόν τε ἦν οὔτε φωραθέντα μὴ ἀπολωλέναι θανάτῳ οἰκτίστῳ· οὐδὲ γὰρ ἐπὶ τῶν συγγενῶν τοῖς γε οἰκειοτάτοις
3 τὸ θαρρεῖν εἶχον. ἀλλὰ καὶ πολλῶν τῶν ἐν τοῖς ἔμπροσθεν λόγοις εἰρημένων ἀποκρύψασθαι τὰς αἰτίας ἠναγκάσθην. τὰ [τό] τε [δ'] οὖν τέως ἄρρητα μείναντα καὶ τῶν ἔμπροσθεν δεδηλωμένων ἐνταῦθά μοι τοῦ λόγου τὰς αἰτίας σημῆναι δεήσει.

4 B 11 Ἀλλά μοι ἐς ἀγώνισιν ἑτέραν ἰόντι χαλεπήν τινα καὶ δεινῶς ἄμαχον τῶν Ἰουστινιανῷ τε καὶ Θεοδώρᾳ βεβιωμένων βαμβαίνειν τε καὶ ἀναποδίζειν ἐπὶ πλεῖστον

1 τοῖς Braun] τε codd., γε Kraš. ‖ 5 ἐνθένδε Alem.] ἐνθάδε G ‖ 10—5, 19 πλήθη — προγεγενημένων] Exordium magna ex parte mutilum est in G, exstant haec: πλ * οἷόντε ἦν, οὔτε φωραθέντων μὴ ἀπολωλέναι θανάτῳ οἰκτίστῳ. ὁ * συγγενῶν τοῖς γε οἰκειοτάτοις τὸ θαῤῥεῖν εἶχον. ἀλλὰ καὶ πολλῶν τῶν ἐντ * εἰρημένων ἀποκρύψασθαι τὰς αἰτίας ἠναγκάσθην. τότε δ' οὖν * καὶ τῶν ἔμπροσθεν δεδηλωμένων ἐντ * ἀλλά μοι ἐς ἀγώνισιν ἑτέραν ἰόντι * θεοδώρᾳ βεβιωμένων, βα * ξυμβαίνει, ὅτι δή μοι τὰ * φανησόμενα τοῖς ὄπι * παλαιοτέραν τὴν ἀκοη * * εὔπορος ὑπὸ ἀμαθίας ἢ ἐς τῶν ο γεγενημένων ‖ 11 φωραθέντα Maltr.] φωραθέντων G ‖ 15 ἠναγκάσθην videtur legendum in G, ἠναγκάσμην legit Kraš. et librarius cod. a | [τό] τε Kraš.] τότε codd. | [δ'] οὖν scripsi] δ' οὖν codd., γοῦν conic. Kraš.



ἐκεῖνο διαριθμουμένῳ ξυμβαίνει, ὅτι δή μοι ταῦτα ἐν τῷ παρόντι γεγράψεται τὰ μήτε πιστὰ μήτε εἰκότα φανησόμενα τοῖς ὄπισθεν γενησομένοις, ἄλλως τε ὁπηνίκα ἐπὶ μέγα ῥεύσας ὁ χρόνος παλαιοτέραν τὴν ἀκοὴν ἀπεργάζεται, δέδοικα μὴ καὶ μυθολογίας ἀποίσομαι δόξαν κἀν τοῖς τραγῳδοδιδασκάλοις τετάξομαι.
ἐκείνῳ μέντοι τὸ θαρρεῖν ἔχων οὐκ ἀποδειλιάσω τὸν 5
ὄγκον τοῦ ἔργου, ὥς μοι οὐκ ἀμαρτύρητος ὁ λόγος ἐστίν. οἱ γὰρ νῦν ἄνθρωποι δαημονέστατοι μάρτυρες τῶν πράξεων ὄντες ἀξιόχρεῳ παραπομποὶ ἐς τὸν ἔπειτα χρόνον τῆς ὑπὲρ αὐτῶν πίστεως ἔσονται.

Καίτοι με καὶ ἄλλο τι ἐς λόγον τόνδε ὀργῶντα 6
πολλάκις ἐπὶ πλεῖστον ἀνεχαίτισε χρόνον. ἐδόξαζον γὰρ τοῖς ἐς τὸ ἔπειτα γενησομένοις ἀξύμφορον ἔσεσθαι τοῦτό γε, ἐπεὶ τῶν ἔργων τὰ πονηρότατα μάλιστα ξυνοίσει ἄγνωστα χρόνῳ τῷ ὑστέρῳ εἶναι, ἢ τοῖς τυράννοις ἐς ἀκοὴν ἥκοντα ζηλωτὰ γίνεσθαι. τῶν γὰρ 7
κρατούντων ἀεὶ τοῖς πλείστοις εὔπορος ὑπὸ ἀμαθίας ἡ ἐς τῶν προγεγενημένων τὰ κακὰ μίμησις, καὶ πρὸς τὰ ἡμαρτημένα τοῖς παλαιοτέροις ῥᾷόν τε καὶ ἀπονώτερον ἐς ἀεὶ τρέπονται. ἀλλά με ὕστερον ἐς τῶνδε 8
τῶν ἔργων τὴν ἱστορίαν τοῦτο ἤνεγκεν, ὅτι δὴ τοῖς ἐς τὸ ἔπειτα τυραννήσουσιν ἔνδηλον ἔσται ὡς μάλιστα μὲν καὶ τὴν τίσιν αὐτοὺς τῶν ἁμαρτανομένων περιελ- B 12
θεῖν οὐκ ἀπεικὸς εἴη, ὅπερ καὶ τοῖσδε τοῖς ἀνθρώποις ξυνηνέχθη παθεῖν· ἔπειτα δὲ καὶ ἀνάγραπτοι αὐτῶν αἱ πράξεις καὶ οἱ τρόποι ἐς ἀεὶ ἔσονται, ἀπ' αὐτοῦ τε ἴσως ὀκνηρότερον παρανομήσουσι. τίς γὰρ ἂν τὸν 9

5 δέδοικα ⟨οὖν⟩ Piccolos ‖ 6 τραγῳδοδιδασκάλοις Dind.] τραγωδιδασκάλοις a | τετάξομαι Dind.] τετάξωμαι a ‖ 13 ἐδόξαζον a] ἐδόξασα Dind. ‖ 28 παρανομήσουσιν G

Σεμιράμιδος ἀκόλαστον βίον ἢ τὴν Σαρδαναπάλου καὶ
Νέρωνος μανίαν τῶν ἐπιγενομένων ἀνθρώπων ἔγνω,
εἰ μὴ τοῖς τότε γεγραφόσι τὰ μνημεῖα ταῦτα ἐλέλειπτο;
ἄλλως τε καὶ τοῖς τὰ ὅμοια πεισομένοις, ἂν οὕτω
τύχοι, πρὸς τῶν τυράννων οὐκ ἀκερδὴς αὕτη παντά-
10 πασιν ἡ ἀκοὴ ἔσται. παραμυθεῖσθαι γὰρ οἱ δυστυ-
χοῦντες εἰώθασι τῷ μὴ μόνοις σφίσι τὰ δεινὰ ξυμπε-
σεῖν. διά τοι ταῦτα πρῶτα μὲν ὅσα Βελισαρίῳ μοχθηρὰ
εἴργασται ἐρῶν ἔρχομαι· ὕστερον δὲ καὶ ὅσα Ἰουστι-
νιανῷ καὶ Θεοδώρᾳ μοχθηρὰ εἴργασται ἐγὼ δηλώσω.
11 P 3 Ἦν τῷ Βελισαρίῳ γυνή, ἧς δὴ ἐν τοῖς ἔμπροσθεν
λόγοις ἐμνήσθην, πάππου μὲν καὶ πατρὸς ἡνιόχων, ἔν
τε Βυζαντίῳ καὶ Θεσσαλονίκῃ τὸ ἔργον τοῦτο ἐνδειξα-
B 13 μένων, μητρὸς δὲ τῶν τινος ἐν θυμέλῃ πεπορνευ-
12 μένων. αὕτη τὰ πρότερα μάχλον τινὰ βιώσασα βίον
καὶ τὸν τρόπον ἐξερρωγυῖα, φαρμακεῦσί τε πατρῴοις
πολλὰ ὡμιληκυῖα, καὶ τὴν μάθησιν τῶν οἱ ἀναγκαίων

11 cf. indicem s. v. Ἀντωνίνα ‖ 14—15 μητρὸς—πεπορνευμένων] Suid. s. v. θυμέλη ‖ 15—17 αὕτη—ὡμιληκυῖα] cit. Suid. s. v. μάχλος, γυνὴ τὸν τρ. ἐξερρωγυῖα Suid. s. v. ἐξερρωγυῖα, φαρμακεῦσί τε πατρῴοις πολλὰ ὡμιληκυῖα Suid. s. v. φαρμακεύς

1 τὴν G corr.] τὸν G pr. m. ‖ 2—3 ἔγνω εἰ μὴ evanuerunt in G ‖ 4 τοῖς—πεισομένοις] τοῖς τὰ ὅμοια πεισομ evanuerunt in G ‖ 5—7, 15 παντάπασιν—λόγοις] in mutilo cod. G haec exstant: παντά * παραμυθεῖσθαι γὰρ οἱ δυστυχοῦντες εἰώθασι, τῷ μὴ μόνοις * εῖν διάτοι ταῦτα πρῶτα μὲν ὅσα βελισσαρίῳ μοχθηρα * τερον δὲ καὶ ὅσα ἰουστινιανῷ καὶ θεοθώρα μοχθηρὰ εἴργασται, ἐγὼ * δὴ ἐν τοῖς ἔμπροσθεν λόγοις, ἐμνήσθην πάππου * ονίκη τὸ ἔργον τοῦτο ἐνδειξαμένων. * τη τὰ πρότερα μάλλον τινὰ βιώσασα * οις πολλὰ ὡμιληκυῖα καὶ * αρίῳ γυνὴ γέγονε μήτηρ ἤδη * * ρχῆς εἶναι. ξυγκαλύπτειν * * λόγοις ‖ 14 τῶν τινος ἐν Suid.] τῶν τινος τῶν a | 15 τὰ πρότερα] τὸ πρότερον Suid.



ποιησαμένη, ἐγγυητὴ ὕστερον Βελισαρίῳ γυνὴ γέγονε,
μήτηρ ἤδη παίδων γενομένη πολλῶν. εὐθὺς μὲν οὖν 13
ἠξίου μοιχεύτρια τὸ ἐξ ἀρχῆς εἶναι, ξυγκαλύπτειν μέν-
τοι τοὔργον τοῦτο ἐν σπουδῇ εἶχεν, οὐ καταδυομένη
τοῖς οἰκείοις ἐπιτηδεύμασιν, οὐδέ τι πρὸς τοῦ ξυνοι-
κοῦντος δειμαίνουσα δέος (οὔτε γὰρ αἰδῶ τινα ἔργου
ὁτουοῦν ἔλαβε πώποτε καὶ τὸν ἄνδρα μαγγανείαις
πολλαῖς κατείληφεν), ἀλλὰ τὴν ἐκ τῆς βασιλίδος
ὑποπτεύουσα τίσιν. λίαν γὰρ ἐς αὐτὴν ἡ Θεοδώρα
ἠγριαίνετό τε καὶ ἐσεσήρει. ἐπεὶ δὲ αὐτὴν ἐν τοῖς
ἀναγκαιοτάτοις ὑπουργήσασα χειροήθη πεποίηται, πρῶ-
τα μὲν Σιλβέριον διαχρησαμένη τρόπῳ ᾧπερ ἐν τοῖς
ὄπισθεν λόγοις εἰρήσεται, ὕστερον δὲ Ἰωάννην κατερ-
γασαμένη τὸν Καππαδόκην, ὥσπερ μοι ἐν τοῖς ἔμ-
προσθεν λόγοις ἐρρήθη, ἐνταῦθα δὴ ἀδεέστερόν τε
καὶ οὐκέτι ἀποκρυπτομένη ἅπαντα ἐξαμαρτάνειν οὐ-
δαμῇ ἀπηξίου.
Ἦν δέ τις νεανίας ἐκ Θρᾴκης ἐν τῇ Βελισαρίου 15 B 14

1—3 ἐγγυητὴ—εἶναι] ἡ δὲ ἐγγυητὴ κτλ. Suid. s. v. ἐγγυήσασθαι ‖ 3—5 ξυγκαλύπτειν—ἐπιτηδεύμασι] cit. Suid. s. v. καταδύεται ‖ 5—7 οὐδέ—πώποτε] cit. Suid. s. v. δειμαίνει ‖ 7—8 καὶ—κατείληφεν] καὶ τὸν ἄνδρα μαγγανείαις κατειλήφει πολλαῖς Suid. s. v. μαγγανεία ‖ 9—10 λίαν—ἐσεσήρει] cit. Suid. s. v. ἐσεσήρεσαν ‖ 13 εἰρήσεται] nusquam Procopius haec narravit ‖ 14 cf. I 136, 13

1—2 γέγονεν, ἤδη παίδων μήτηρ Suid. ‖ 2 μὲν om. Suid. ‖ 3 ἐξ ἀρχῆς a] ἐξῆς Suid. ‖ 4 τὸ ἔργον Suid. | εἶχε Suid | οὐ καταδυομένη a] οὐ om. Suid., ἐγκαταδυομένη Maltr. ‖ 5 οὐδέ τι Suid.] οὐδέ το a ‖ 6 γὰρ a] om. Suid. ‖ 7 ὁτουοῦν] οὐτονοῦν a, om. Suid. | ἐλάμβανε Suid. ‖ 8 κατειλήφει πολλαῖς Suid. ‖ 10 τε om. Suid. | ἐσεσήρει Suid.] ἐμεμήνει a | τοῖς] τοῖσιν a, τοῖς οἱ Maltr., cf. cap. 27, 6 ‖ 15 ἀδεέστερόν non satis comparet in G ‖ 16 οὐκέτι] οὐ evanuit in G ‖ 18 βελισσαρίου hic et infra passim G

οἰκίᾳ, Θεοδόσιος τοὔνομα, δόξης γεγονὼς ἐκ πατέρων
16 Εὐνομιανῶν καλουμένων. τοῦτον, ἡνίκα ἐς Λιβύην
ἀποπλεῖν ἔμελλεν, ἔλουσε μὲν ὁ Βελισάριος τὸ θεῖον
λουτρὸν καὶ χερσὶν ἀνελόμενος ἐνθένδε οἰκείαις εἰσποι-
ητὸν ἐποιήσατο ξὺν τῇ γυναικὶ παῖδα, ἧπερ εἰσποιεῖ-
σθαι Χριστιανοῖς νόμος, καὶ ἀπ' αὐτοῦ ἡ Ἀντωνίνα
τὸν Θεοδόσιον ἅτε παῖδα ὄντα ἱερῷ λόγῳ ἠγάπα τε
ὡς τὸ εἰκὸς κἂν τοῖς μάλιστα ἐπιμελομένη ἀμφ' αὐτὴν
17 εἶχεν. εὐθύς τε ἐρασθεῖσα αὐτοῦ ἐκτόπως ἐν τῷ διάπλῳ
τούτῳ καὶ κατακορὴς γεγονυῖα τῷ πάθει ἀπεσείσατο
μὲν θείων τε καὶ ἀνθρωπίνων πραγμάτων δέος τε καὶ
αἰδῶ ξύμπασαν, ἐμίγνυτο δὲ αὐτῷ τὰ μὲν πρῶτα ἐν
παραβύστῳ, τελευτῶσα δὲ καὶ οἰκετῶν καὶ θεραπαινί-
18 δων παρόντων. κάτοχος γὰρ ἤδη τῷ πόθῳ τούτῳ
γεγενημένη καὶ διαφανῶς ἐρωτόληπτος οὖσα οὐδὲν ἔτι
τοῦ ἔργου κώλυμα ἔβλεπε. καί ποτε ὁ Βελισάριος ἐπ'
P 4 αὐτοφώρῳ τὴν πρᾶξιν λαβὼν ἐν Καρχηδόνι ἐξηπάτητο
19 πρὸς τῆς γυναικὸς ἑκών γε εἶναι. ὁ μὲν γὰρ ἄμφω

2 cf. I 365, 13 ‖ 2—6 *τοῦτον—νόμος*] *τὸν δὲ Εὐνομιανὸν ἔλουσε Βελισάριος τὸ θεῖον λουτρόν, χερσὶ δὲ οἰκείαις ἀνελόμενος εἰσποιητὸν ἐποιήσατο παῖδα κτλ.* Suid. s. v *ἔλουσε* et s. v. *Εὐνομιανός* ‖ 4—6 *οἰκείαις—νόμος*] *εἰσεποιήσατο αὐτὸν χερσὶν οἰκείαις εἰς παῖδα κτλ.* Suid. s. v. *ἧπερ* ‖ 9 *εἶθ' ὕστερον ἐρασθεῖσα αὐτοῦ ἐν παραβύστῳ* Suid. s. v. *ἐκτόπως* ‖ 9—10 *ἐν τῷ διάπλῳ τούτῳ κατακορὴς γενομένη τῷ πάθει* Suid. s. v. *κατακορής* ‖ 12—14 *ἠράσθη αὐτοῦ τὰ μὲν πρῶτα ἐν παραβύστῳ, τελευτῶσα δὲ καὶ οἰκετῶν παρόντων* Suid. s. v. *ἐν παραβύστῳ* ‖ 14—16 *κάτοχος—ἔβλεπε*] *κάτοχος ἤδη κτλ.* Suid. s. v. *κάτοχος* ‖ 16—18 *ὁ Βελ.—εἶναι*] *ὁ δὲ ἐπ' κτλ.* Suid. s. v. *ἐπ' αὐτοφώρῳ* ‖ 17—18 *ὁ δὲ ἐξηπάτητο—εἶναι*] cit. Suid. s. v. *ἑκόντων εἶναι*

4 *ἐνθένδεν G* ‖ 8 *ἀμφ'* scripsi] *ὑφ'* codd. ‖ 9 *εὐθύς τε ἐρασθεῖσα αὐτοῦ* scripsi] *εἶθ' ὕστερον αὐτοῦ ἐρασθεῖσα G, εἶθ' ὕστερον ἐρασθεῖσα αὐτοῦ* Suid., cf. Hy 2 p. 29 ‖ 10 *γεγονυῖα G*] *γενομένη* Suid. ‖ 14 *πόθῳ*] malim *πάθει*, cf. vers. 10 ‖ 15 *διαφανὴς* Suid. ‖ 16 *τοῦ ἔργου* om. Suid., *τοῦ ἔργου τούτου g*



ἐν δωματίῳ καταγείῳ εὑρὼν ἐμεμήνει, ἡ δὲ οὔτε ἀπο-
δειλιάσασα οὔτε καταδυσαμένη τῷ ἔργῳ τούτῳ, „Ἐν-
ταῦθα“, ἔφη, „τῶν λαφύρων τὰ τιμιώτατα σὺν τῷ B 15
„νεανίᾳ κρύψουσα ἦλθον, ὡς μὴ ἐς βασιλέα ἔκπυστα
„γένηται“. ἡ μὲν οὖν ταῦτα σκηπτομένη εἶπεν, ὁ δὲ 20
ἀναπεισθῆναι δόξας ἀφῆκε, καίπερ τῷ Θεοδοσίῳ ἐκλε-
λυμένον τὸν ἱμάντα ὁρῶν τὸν ἀμφὶ τὰ αἰδοῖα τὰς
ἀναξυρίδας ξυνδέοντα. ἔρωτι γὰρ τῆς ἀνθρώπου
ἀναγκασθεὶς ἐβούλετό οἱ τὴν τῶν οἰκείων ὀφθαλμῶν
θέαν ὡς ἥκιστα ἀληθίζεσθαι. τῆς δὲ μαχλοσύνης ἀεὶ 21
προϊούσης ἐς κακὸν ἄφατον οἱ μὲν ἄλλοι θεώμενοι τὰ
πραττόμενα ἐν σιωπῇ εἶχον, δούλη δέ τις Μακεδονία
ὄνομα ἐν Συρακούσαις, ἡνίκα Σικελίας ἐκράτησε Βελι-
σάριος, ὅρκοις δεινοτάτοις τὸν δεσπότην καταλαβοῦσα,
μή ποτε αὐτὴν τῇ κεκτημένῃ καταπροήσεσθαι, τὸν
πάντα αὐτῷ λόγον ἐξήνεγκε, δύο παιδάρια πρὸς μαρ-
τυρίαν παρασχομένη, οἷς δὴ τὰ ἀμφὶ τὸν κοιτῶνα
ὑπηρετεῖν ἐπιμελὲς ἦν. ταῦτα μαθὼν Βελισάριος τῶν 22
οἱ ἑπομένων τινὰς τὸν Θεοδόσιον ἐκέλευσε διαχειρί-
σασθαι. ὁ δὲ προμαθὼν εἰς Ἔφεσον φεύγει. τῶν 23
γὰρ ἑπομένων οἱ πλεῖστοι τῷ ἀβεβαίῳ τῆς τοῦ ἀνθρώ-
που γνώμης ἡγμένοι ἀρέσκειν τὴν γυναῖκα μᾶλλον ἐν
σπουδῇ εἶχον ἢ τῷ ἀνδρὶ δοκεῖν εὐνοϊκῶς ἔχειν, οἵ γε
καὶ τὰ σφίσιν ἐπικείμενα τότε ἀμφ' αὐτῷ προὔδοσαν.
Κωνσταντῖνος δὲ Βελισάριον ὁρῶν περιώδυνον γεγο- 24
νότα τοῖς ξυμπεσοῦσι, τά τε ἄλλα ξυνήλγει καὶ τοῦτο

6—8 *καίπερ—ξυνδέοντα*] cit. Suid. s. v. *ἀναξυρίδας*

1 *δωματίῳ* Dind.] *δωματείω G* ‖ 6 *πεισθῆναι δόξας*] hinc incipit *S* ‖ 7 *ὁρῶν* om. Suid. ‖ 8 *ξυνδέοντα GS*] *δέοντα* Suid. ‖ 15 *τὸν S*] om. *G* ‖ 19 *τινὰς S*] *ινὰς* evanuit in *G* | *θεοδοσι// G* ‖ 20 *ἐς S* | *φεύγ// G*

ἐπεῖπεν ὡς „Ἔγωγε θᾶσσον ἂν τὴν γυναῖκα ἢ τὸν
25 „νεανίαν κατειργασάμην“. ὅπερ Ἀντωνίνα μαθοῦσα,
κεκρυμμένως αὐτῷ ἐχαλέπαινεν, ὅπως ἔγκοτον ἐνδείξη-
26 B16 ται τὸ εἰς αὐτὸν ἔχθος. ἦν γὰρ σκορπιώδης τε καὶ
ὀργὴν σκοτεινή. οὐ πολλῷ δὲ ὕστερον ἢ μαγγανεύσασα
ἢ θωπεύσασα πείθει τὸν ἄνδρα ὡς οὐχ ὑγιὲς τὸ κατη-
γόρημα τὸ ταύτης γένοιτο· καὶ ὃς Θεοδόσιον μὲν μελ-
λήσει οὐδεμιᾷ μετεπέμψατο, Μακεδονίαν δὲ καὶ τὰ
27 παιδία τῇ γυναικὶ ἐκδοῦναι ὑπέστη. οὓς δὴ ἅπαντας
πρῶτα τὰς γλώττας, ὥσπερ λέγουσιν, ἀποτεμοῦσα, εἶτα
κατὰ βραχὺ κρεουργήσασα καὶ θυλακίοις ἐμβεβλημένη
ἐς τὴν θάλατταν ὀκνήσει οὐδεμιᾷ ἔρριψε, τῶν τινος
οἰκετῶν Εὐγενίου ὄνομα ὑπουργήσαντός οἱ ἐς ἅπαν
τὸ ἄγος, ᾧ δὴ καὶ τὸ ἐς Σιλβέριον εἴργασται μίασμα.
28 καὶ Κωνσταντῖνον δὲ οὐ πολλῷ ὕστερον Βελισάριος
τῇ γυναικὶ ἀναπεισθεὶς κτείνει. τὰ γὰρ ἀμφὶ τῷ
Πραισιδίῳ καὶ τοῖς ξιφιδίοις τηνικάδε ξυνηνέχθη
γενέσθαι ἅπερ μοι ἐν τοῖς ἔμπροσθεν λόγοις δεδή-
29 λωται. μέλλοντος γὰρ τοῦ ἀνθρώπου ἀφίεσθαι, οὐ
πρότερον ἀνῆκεν ἡ Ἀντωνίνα, ἕως αὐτὸν τοῦ λόγου
30 P5 ἐτίσατο, οὗπερ ἐγὼ ἀρτίως ἐμνήσθην. καὶ ἀπ' αὐτοῦ
ἔχθος μέγα περιεβάλλετο ὁ Βελισάριος ἔκ τε βασιλέως
καὶ τῶν ἐν Ῥωμαίοις λογίμων ἁπάντων.
31 Ταῦτα μὲν οὖν τῇδε κεχώρηκε. Θεοδόσιος δὲ οὐκ

4—5 *ἦν δὲ ἄρα ἡ Θεοδώρα σκορπιώδης καὶ ὀργὴν σκοτεινή* Suid. s. v. *σκορπιαίνεσθαι* ‖ 17 cf. II 186

1 *Ἔγωγε* Dind.] *ἐγώτε* codd. | *τὴν γυναῖκα θᾶσσον ἂν S* ‖ 3 *ἔγκοτα G* in contextu, *S*] *ἔγγιστα G* in marg., *ἐν σκότῳ* vel *ἐν καιρῷ* Herw., malim *ἥκιστα* ‖ 4 *ἔχθος*] *ἄχθος G* pr. m. ‖ 8 *οὐδεμία G* ‖ 9 *τῇ G*] *τῆς S* ‖ 12 *εἰς S* ‖ 17 *Πραισιδίῳ* Alem.] *περσιδίω* codd. ‖ 22 *περιεβάλετο S*



ἔφη ἐς Ἰταλίαν ἀφίξεσθαι οἷός τε εἶναι, ἵνα δὴ τότε
διατριβὴν εἶχον Βελισάριός τε καὶ Ἀντωνίνα, ἢν μὴ
Φώτιος ἐκποδὼν γένηται. ὁ γὰρ Φώτιος πρόχειρος 32
μὲν φύσει ἐς τὸ δάκνεσθαι ἦν, ἤν τις αὐτοῦ παρ' B 17
ὁτῳοῦν [αὐτῇ] δύνηται μᾶλλον, ἐν μέντοι τοῖς ἀμφὶ
Θεοδοσίῳ καὶ δικαίως ἀποπνίγεσθαί οἱ ξυνέβαινεν,
ὅτι δὴ αὐτὸς μὲν καίπερ υἱὸς ὢν ἐν οὐδενὶ ἐγίγνετο
λόγῳ, ὁ δὲ δυνάμει τε πολλῇ ἐχρῆτο καὶ χρήματα
μεγάλα περιεβάλλετο. λέγουσι γὰρ αὐτὸν ἐκ Καρχη- 33
δόνος τε καὶ Ῥαβέννης ἐς ἑκατὸν κεντηνάρια ἐξ ἀμφοῖν
Παλατίοιν συλήσαντα ἔχειν, ἐπεὶ καὶ μόνῳ κατ' ἐξου-
σίαν διαχειρίσαι ταῦτα ξυνέβη. ἡ δὲ Ἀντωνίνα ἐπεὶ 34
τὴν Θεοδοσίου γνώμην ἔμαθεν, οὐ πρότερον ἀνῆκεν
ἐνεδρεύουσά τε τὸν παῖδα καὶ φονίοις τισὶν ἐπιβου-
λαῖς αὐτὸν μετιοῦσα, ἕως καταπράξασθαι ἴσχυσεν αὐτὸν
μὲν ἐνθένδε ἀπαλλαγέντα ἐς Βυζάντιον ὁδῷ ἰέναι,
οὐκέτι φέρειν τὰς ἐνέδρας οἷόν τε ὄντα, τὸν δὲ Θεο-
δόσιον ἐς τὴν Ἰταλίαν παρ' αὐτὴν ἥκειν. οὗ δὴ 35
κατακόρως τῆς τε τοῦ ἐρωμένου διατριβῆς καὶ τῆς
τοῦ ἀνδρὸς εὐηθείας ἀποναμένη χρόνῳ ὕστερον ξὺν
ἀμφοῖν ἐς Βυζάντιον ἧκεν. ἔνθα δὴ Θεοδόσιον ἐδε- 36
δίσσετο τὸ συνειδέναι καὶ ἔστρεφεν αὐτοῦ τὴν διάνοιαν.
λήσειν γὰρ ἐς τὸ παντελὲς οὐδαμῇ ᾤετο, ἐπεὶ τὴν γυ-
ναῖκα ἑώρα οὐκέτι τὸ πάθος ἐγκρυφιάζειν οἵαν τε

3 De hoc Photio multa profert Ioannes Eph. p. 31

1 *δὴ S*] *ἤδη G* ‖ 3 *Φώτιος* codd.] *Φωτεινός* Theoph. I 242, 4 ‖ 5 [*αὐτῇ*] *δύνηται*] *αὐτῇ* delevit Alem. ‖ 7 *ἐγίγνετο*] //*γνετο G*, *ἐγίνετο S* ‖ 10 *Ῥαβέννης*] *ῥαβαίνης G* ‖ 11 *συλλήσαντα G* ‖ 13 *ἀνῆκε G* ‖ 16 *ἐνθένδε S*] *ἐνθάδε G* ‖ 18 *εἰς S* ‖ 21 *ἧκεν G*] *ἦλθεν S* ‖ 22 *τὸ S*] *τῷ G* ‖ 24 *οἵαν τε G*] *οἷά τε S*

οὖσαν, οὐδὲ κεκρυμμένως ἐξερρωγέναι, ἀλλὰ διαρ-
ρήδην μοιχαλίδα εἶναί τε καὶ ὀνομάζεσθαι ὡς ἥκιστα
37 ⟨ἀπ⟩αξιοῦσαν. διὸ δὴ αὖθις ἐς τὴν Ἔφεσον ἀφικό-
μενος καὶ ἀποθριξάμενος ᾗπερ εἴθισται ἐνέγραψεν εἰς
38 τοὺς μοναχοὺς καλουμένους αὑτόν. τότε δὴ κατ' ἄκρας
B 18 ἐμάνη καὶ τὴν ἐσθῆτα ξὺν τῇ διαίτῃ ἐς τρόπον μετα-
βαλοῦσα τὸν πένθιμον περιῄει συχνὰ κατὰ τὴν οἰκίαν
κωκύουσα, ὀλολυγῇ τε κεχρημένη ὠλοφύρετο οὐκ ἀπο-
λελειμμένου τἀνδρὸς, ὁποῖον αὐτῇ ἀγαθὸν ὠλώλει, ὡς
πιστὸν, ὡς εὔχαριν, ὡς εὐνοϊκὸν, ὡς δραστήριον.
39 τελευτῶσα δὲ καὶ τὸν ἄνδρα ἐς ταύτας δὴ ἐπαγαγο-
μένη τὰς ὀλοφύρσεις ἐκάθισεν. ἔκλαε γοῦν ὁ ταλαίπω-
40 ρος τὸν ποθεινὸν ἀνακαλῶν Θεοδόσιον. ὕστερον δὲ
καὶ εἰς βασιλέα ἐλθὼν, αὐτόν τε καὶ τὴν βασιλίδα
ἱκετεύων, ἀνέπεισε Θεοδόσιον μεταπέμψασθαι ἅτε ἀναγ-
καῖον αὐτῷ κατὰ τὴν οἰκίαν ὄντα τε καὶ ἐσόμενον.
41 ἀλλὰ Θεοδόσιος ἀπεῖπε μηδαμῇ ἐνθένδε ἰέναι, ὡς
ἀσφαλέστατα ἐμπεδώσειν ἰσχυρισάμενος τὸ τῶν μοναχῶν
42 ἐπιτήδευμα. ἦν δὲ ἄρα ὁ λόγος κατάπλαστος, ὅπως
ἐπειδὰν τάχιστα Βελισάριος ἐκ Βυζαντίου ἀποδημοίη,
αὐτὸς παρὰ τὴν Ἀντωνίναν ἀφίκηται λάθρα. ὅπερ
οὖν καὶ ἐγένετο.

P 6 β'. Αὐτίκα γὰρ Βελισάριος μὲν ὡς Χοσρόῃ πολε-
μήσων ξὺν τῷ Φωτίῳ ἐστέλλετο, Ἀντωνίνα δὲ αὐτοῦ
2 ἔμεινεν, οὐκ εἰωθὸς αὐτῇ πρότερον τοῦτό γε. τοῦ
γὰρ μὴ κατὰ μόνας τὸν ἄνθρωπον καθιστάμενον ἐν

1 κεκρυμμένως G] ἐγκεκρυμμένως S ‖ 3 ⟨ἀπ⟩αξιοῦσαν Alem.] ἀξιοῦσαν codd. ‖ 4 καὶ G] om. S | ἐνέγραψεν G] ἐσέγραψεν S ‖ 8—9 οὐκ ἀπολελειμμένου codd.] οὐκ ἀπολελειμμένη Reiske, malim οὐκ ἀπολομένου ‖ 12 ἔκλαε S] ἔκαμε G ‖ 13 δὲ g] om. GS ‖ 14 βασιλέα G] βασιλέως S ‖ 24 ξὺν G] σὺν superscr. ξ S



αὐτῷ τε γενέσθαι καὶ τῶν ἐκείνης μαγγανευμάτων
ὀλιγωροῦντα φρονῆσαί τι ἀμφ' αὐτῇ τῶν δεόντων,
πανταχόσε τῆς γῆς ξὺν αὐτῷ στέλλεσθαι ἐπιμελές οἱ
ἐγίνετο. ὅπως δὲ καὶ αὖθις Θεοδοσίῳ παρὰ Ἀντω- 3
νίναν ἐσιτητὰ εἴη, Φώτιον ἐκποδὼν οἱ γενέσθαι ἐν
σπουδῇ ἐποιεῖτο. πείθει τοίνυν τῶν Βελισαρίῳ ἑπο- 4 B 19
μένων τινὰς ἐρεσχελεῖν τε αὐτὸν ἐς ἀεὶ καὶ προπη-
λακίζειν, οὐδένα ἀνιέντας καιρόν· αὐτή τε [γὰρ] γρά-
φουσα ἐς ἡμέραν σχεδόν τι ἑκάστην διέβαλλέ τε
διηνεκὲς καὶ ἐπὶ τῷ παιδὶ πάντα ἐκίνει. οἷς δὴ ὁ 5
νεανίας ἀναγκασθεὶς διαβόλως ἔγνω τῇ μητρὶ χρῆσθαι,
ἥκοντά τέ τινα ἐκ Βυζαντίου, ὃς δὴ ἀπήγγελλε Θεο-
δόσιον λάθρα ξὺν Ἀντωνίνῃ διατριβὴν ἔχειν, παρὰ
Βελισάριον εὐθὺς εἰσάγει, φράζειν ἐπιστείλας τὸν
πάντα λόγον. ἅπερ ἐπεὶ ὁ Βελισάριος ἔγνω, ὀξυθυ- 6
μωθεὶς ὑπερφυῶς [ὡς] παρὰ τοὺς Φωτίου πόδας ἐπὶ
στόμα πίπτει, καὶ αὐτοῦ ἐδεῖτο τιμωρεῖν οἱ αὐτῷ
πάσχοντι ὑφ' ὧν ἥκιστα χρῆν ἀνόσια ἔργα „Ὦ παῖ"
λέγων „γλυκύτατε, πατέρα μὲν τὸν σὸν ὅστις ποτὲ ἦν
„οὐδαμῇ οἶσθα, ἐπεί σε ὑπὸ τιτθοῦ τρεφόμενον ἔτι
„καταλιπὼν ξυνεμετρήσατο τὸν ἑαυτοῦ βίον. οὐ μὴν
„οὐδέ του τῶν αὐτοῦ ὤνησαι. ἦν γὰρ τὰ ἐς τὴν οὐ-
„σίαν οὐ λίαν εὐδαίμων. ὑπ' ἐμοὶ δὲ καίπερ ὄντι 7
„πατρῳῷ τραφεὶς, τήν τε ἡλικίαν τηλικόσδε εἶ, ὡς

1 αὐτῶ g] αὐτῶ GS ‖ 4 παρὰ G] ἐς S ‖ 5 εἰσιτητὰ S ‖ 6 σπουδῇ S] βουλῇ G ‖ 7 ἐρεσχελεῖν G in marg., S] ἐρεσχεῖν G in contextu ‖ 8 αὐτή τε Reiske] αὐτή τε γὰρ codd. ‖ 12 ὃς] ὡς in marg. G | ἀπήγγελλε g in marg.] ἀπαγγέλλεσθαι GS, g in contextu ‖ 13 λάθρα S] om. G ‖ 14 ἐπιστείλας] ἐπιτείλας Alem. ‖ 15—16 ὀξυθυμωθεὶς Herw.] ὀξὺ θυμωθεὶς codd. ‖ 16 παρὰ τοὺς Alem.] ὡς παρὰ τοῦ GS ‖ 17 οἱ S] om. G ‖ 24 τηλικόσδε Dind.] τηλικοῦτος δὲ GS | εἶ S] ἢ G

„σὸν εἶναι ἀμύνειν ἀδικουμένῳ μοι ἐς τὰ μάλιστα, ἕς
„τε ὑπάτων ἀξίωμα ἥκεις καὶ πλούτου περιβέβλησαι
„τοσόνδε χρῆμα, ὥστε πατήρ τε καὶ μήτηρ καὶ τὸ
„ξυγγενὲς ἅπαν ἔγωγε καλοίμην ἄν, ὦ γενναῖε, καὶ
8 „εἴην δικαίως. οὐχ αἵματι γάρ, ἀλλὰ τοῖς ἔργοις
„εἰώθασι δῆτα σταθμᾶσθαι τὴν ἐς ἀλλήλους στοργὴν
9 B 20 „ἄνθρωποι. ὥρα σοι τοίνυν μὴ περιιδεῖν ἐμὲ μὲν
„πρὸς τῇ τῆς οἰκίας διαφθορᾷ καὶ χρημάτων ἐστερη-
„μένον τοσούτων τὸ πλῆθος, τὴν δὲ μητέρα τὴν σὴν
„αἶσχος ἀναδουμένην οὕτω δὴ μέγα πρὸς πάντων
10 „ἀνθρώπων. ἐνθυμοῦ τε ὡς αἱ τῶν γυναικῶν ἁμαρ-
„τάδες οὐκ ἐπὶ τοὺς ἄνδρας ἴενται μόνον, ἀλλὰ καὶ
„παίδων ἅπτονται μᾶλλον, οὕς γε καὶ δόξαν τινὰ
„φέρεσθαι ἐκ τοῦ ἐπὶ πλεῖστον συμβήσεται, ὡς φύσει
11 „τὸν τρόπον ταῖς γειναμέναις ἐοίκασιν. οὑτωσί τε
P 7 „λογίζου περὶ ἐμοῦ, ὡς ἐγὼ τὴν γυναῖκα τὴν ἐμαυτοῦ
„πάνυ μὲν φιλῶ, καὶ ἤν μοι τίσασθαι τὸν διαφθορέα
„τῆς οἰκίας ἐξῇ, οὐδὲν αὐτὴν ἐργάσομαι φαῦλον,
„περιόντος δὲ Θεοδοσίου ταύτῃ τὸ ἔγκλημα ἐπιχωρεῖν
„οὐκ ἂν δυναίμην.“
12 Ταῦτα ἀκούσας ὁ Φώτιος ὑπηρετήσειν μὲν ὠμο-

---

5—7 οὐ ῥήμασιν, ἀλλ᾽ ἔργοις ἀεὶ εἰώθασι τὴν ἐς ἀλλήλους σταθμᾶσθαι στοργὴν οἱ ἄνθρωποι Suid. s. v. σταθμᾶσθαι ‖ 7—9 ὥρα—πλῆθος] cit. Suid. s. v. ὥρα ‖ 10—11 αἶσχος—ἀνθρώπων] cit. Suid. s. v. ἀναδούμενος ‖ 11—15 αἱ—ἐοίκασιν] cit. Suid. s. v. ἁμαρτάδας

---

5 αἵματι g] ἅμα. τί GS, ῥήμασιν Suid. ‖ 7 τοίνυν] om. Suid. ‖ 9 τοσούτων τὸ πλῆθος S] πλῆθος τοσούτων G, τοσοῦτον πλῆθος Suid. ‖ 10 δὴ codd.] om. Suid. | πρὸς codd. ‖ 11—12 ἁμαρτάδες S et Suid.] ἁρματάδες G ‖ 12 ἄνδρας] /νδρ// G ‖ 14 ξυμβήσεται S ‖ 15 τὸν τρόπον] τρόπου Suid. ‖ 16 ἐμοῦ] ἡμῶν superscr. οῦ S ‖ 17 διαφορέα S ‖ 18 ἐξῇ Reiske] ἐξῆν codd.



λόγει ἐς ἅπαντα, δεδιέναι δὲ μή τι λάβοι ἐνθένδε
κακόν, τὸ θαρσεῖν ἐπὶ τῷ ἀβεβαίῳ τῆς Βελισαρίου
γνώμης τά γε ἐς τὴν γυναῖκα οὐ σφόδρα ἔχων· ἄλλα
τε γὰρ αὐτὸν πολλὰ καὶ τὸ Μακεδονίας δυσωπεῖν
πάθος. διὸ δὴ ἄμφω ἅπαντας ἀλλήλοιν ὠμοσάτην 13
ὅσοι δὴ ἐν Χριστιανοῖς δεινότατοι ὅρκοι εἰσί τε καὶ
ὀνομάζονται, μήποτε ἀλλήλω καταπροήσεσθαι ἄχρι τῶν
ἐς τὸν ὄλεθρον φερόντων κινδύνων. ἐν μὲν οὖν τῷ 14
παρόντι τῷ ἔργῳ ἐγχειρεῖν ἔδοξε σφίσιν ἀξύμφορον
εἶναι, ὁπηνίκα δὲ Ἀντωνίνα ἐκ Βυζαντίου ἀφίκηται, B 21
ἐς δὲ τὴν Ἔφεσον Θεοδόσιος ἴοι, τηνικάδε τοῦ χρόνου
Φώτιον ἐν τῇ Ἐφέσῳ γενόμενον Θεοδόσιόν τε καὶ τὰ
χρήματα οὐδενὶ πόνῳ χειρώσασθαι. τότε μὲν οὖν 15
αὐτοί τε τὴν ἐσβολὴν παντὶ τῷ στρατῷ ἐς τὴν Περ-
σίδα πεποίηνται χώραν, ἀμφί τε Ἰωάννῃ τῷ Καππα-
δόκῃ ἐν Βυζαντίῳ ξυνηνέχθη γενέσθαι ἅπερ μοι ἐν
τοῖς ἔμπροσθεν λόγοις δεδήλωται. ἔνθα δὴ τοῦτό μοι 16
τῷ δέει σεσιώπηται μόνον, ὅτι γε οὐκ εἰκῇ τόν τε
Ἰωάννην καὶ τὴν αὐτοῦ παῖδα ἡ Ἀντωνίνα ἐξηπατήκει,
ἀλλ᾽ ὅρκων αὐτοὺς πλήθει, ὧνπερ οὐδὲν φοβερώτερον
ἔν γε Χριστιανοῖς εἶναι δοκεῖ, πιστωσαμένη, μηδεμιᾷ
δολερᾷ γνώμῃ ἐς αὐτοὺς χρῆσθαι. ταῦτά τε διαπε- 17
πραγμένη καὶ πολλῷ ἔτι μᾶλλον ἐπὶ τῇ τῆς βασιλίδος

---

5—8 διὸ—κινδύνων] cit. Suid. s. v. δεινοί ‖ 5—8 ὠμοσάτην—κινδύνων] ὠμοσάτην οσοι δεινότατοι Χριστιανοῖς ὅρκοι ὀνομάζονται κτλ. Suid. s. v. καταπροήσεται ‖ 17 cf. I 136, 13

---

1 λάβοι G] λάβη S | ἐνθέδε G ‖ 5 δὴ codd.] om. Suid. | ἅπαντας G] om. S | ἀλλήλοιν Suid.] ἀλλήλοις codd. ‖ 6 ὅσοι G, S pr. m. corr., ὅσα S pr. m. ‖ 7 ἀλλήλω Kraš.] ἀλλήλων codd. ‖ 11 ἴοι S, ἴῃ Wahler ‖ 12 γινόμενον S ‖ 13 χειρώσεσθαι? ‖ 18 τόν τε Reiske] τόν γε codd. ‖ 19 τὴν Alem. et a] τὸν GS ‖ 22 χρήσεσθαι Herw. ‖ 22—23 διαπεπραμένη G

1 BT Procop ed. Haury. Vol. III cum addendis ed. Wirth [1736]